Bleckmann, Friedrich
Griechische Inschriften
aur griechischen Staaten-
kunde

KLEINE TEXTE FÜR VORLESUNGEN UND ÜBUNGEN
HERAUSGEGEBEN VON HANS LIETZMANN

115

GRIECHISCHE INSCHRIFTEN ZUR GRIECHISCHEN STAATENKUNDE

AUSGEWÄHLT

VON

F. BLECKMANN

PREIS 2.— M.



BONN
A. MARCUS UND E. WEBER'S VERLAG
1913

KLEINE TEXTE FÜR VORLESUNGEN UND ÜBUNGEN
HERAUSGEGEBEN VON HANS LIETZMANN
115

GRIECHISCHE INSCHRIFTEN
ZUR
GRIECHISCHEN STAATENKUNDE

AUSGEWÄHLT
VON
F. BLECKMANN



BONN
A. MARCUS UND E. WEBER'S VERLAG
1913

Die inschriften sind unter dem gesichtspunkt ausgewählt, möglichst viele typische fälle vorzuführen. Der kommentar ist des beschränkten raumes wegen knapp gehalten. Es kam mir vor allem darauf an, möglichst jedesmal die inschriftlichen und literarischen texte und die wissenschaftliche literatur anzugeben, die man zur hand nehmen muss, wenn man weiterkommen will.

ABKÜRZUNGEN

Ath. Mitt. = Mitteilungen des deutschen archäologischen Institutes. Athenische abteilung
Bezz. Beitr. = Beiträge zur Kunde der indogermanischen Sprachen hgg. v. Bezzenberger (u. Prellwitz)
Bull. Corr. Hell. = Bulletin de correspondance hellénique
CIG = Corpus Inscriptionum Graecarum
Dialektinschr. = Sammlung der griechischen Dialektinschriften hgg. von H. Collitz u. F. Bechtel. Göttingen 1884 ff
Ἐφημ. ἀρχαιολ. = Ἐφημερὶς ἀρχαιολογική
Hicks = E. L. Hicks and G. F. Hill, A manual of Greek historical inscriptions. 2. aufl. Oxford 1901
IG = Inscriptiones Graecae consilio et auctoritate Academiae .... Borussicae editae
IGA = Inscriptiones Graecae antiquissimae praeter Atticas in Attica repertas ed. H. Roehl. Berlin 1882
Inscr. jur. = Recueil des inscriptions juridiques grecques par R. Dareste, B. Haussoullier, Th. Reinach. Paris 1891 ff
Journ. of Hell. Stud. = Journal of Hellenic Studies
Lebas, Voy. archéol. = Ph. Lebas, Voyage archéologique en Grèce et en Asie Mineure, 2e partie, commentaire par P. Foucart, 3e partie, commentaire par Waddington
Michel = Recueil d'inscriptions grecques par Ch. Michel. Paris 1900. Supplément 1912
OGI = Orientis Graeci inscriptiones selectae ed. Dittenberger. Leipzig 1903—05
Rev. d. ét. gr. = Revue des études grecques
Roberts = E. S. Roberts, An introduction to Greek epigraphy I. II. Cambridge 1887. 1905
Solmsen = Inscriptiones Graecae ad inlustrandas dialectos selectae ... tertium ed. F. Solmsen. Leipzig 1910
Swoboda = H. Swoboda, Die griechischen Volksbeschlüsse. Leipzig 1890
Syll = Sylloge inscriptionum Graecarum iterum ed. Dittenberger. Leipzig 1898—1901
Szanto = E. Szanto, Das griechische Bürgerrecht. Freiburg 1892
A. Wilhelm, Beitr. = Beiträge zur griechischen Inschriftenkunde von A. Wilhelm. Sonderschriften des österreichischen archäologischen Instituts in Wien. Band VII. Wien 1909

Die eingeklammerten zahlen in den texten geben die zahl der fehlenden buchstaben an, das zeichen ( ) ist gesetzt, wenn ein wort oder buchstaben auf dem stein versehentlich ausgelassen ist, das zeichen ⟨ ⟩ klammert buchstaben oder wörter ein, die auf dem stein zu viel geschrieben sind, ein punkt unter einem buchstaben bedeutet unsichere lesung.

1. Grenzsteine

a. Ὅρια Με|λανπαγιτῶν | Ἡρακλεω|τῶν.

b. Ὅρια Κ[ω]πήων | ποτ' Ἀκρηφιεῖα[ς], | όριττ[ά]ντων Βοιω[τῶν].

c. Ὅρος | Λακεδαί|μονι πρὸς | Μεσσήνην.

d. Δαμόσιον τὸ χωρίον πέντε πόδε[ς] ἀπὸ το(ῦ) τείχε[ος.]

e. h]Όρος | τ]ε͂ς ὁδõ | τε͂ς Ἐλευσῖνάδε.

f. Ἄχρι τ[ε͂ς] hοδõ τε͂|σδε τὸ ἄ|στυ τεῖ|δε νενέ|μεται.

g. [Δεῦρ' Ἐλε]|υσινίον [τρ]|ιττὺς τελ[ε]|υτᾶι, Περαι|õν δὲ τριτ|ὺς ἄρχεται.

h. Ἐμπορίο καὶ hοδõ hόρος.

i. [Πορ]θμεί|[ο]ν hόρμ|ο hόρος.

2. Bündnis zwischen Gortyn und Lappa (Kreta) (3. oder 2. jahrh. v. Chr.)

Ἀγαθᾶι θύχαι· κορμιόντων Γόρτυνι μὲν ἐπὶ τᾶς ἀρχήιας τῶ[ν] | σὺν Εὐρύττονι τ[ῶ] Μενοντίδα, Λάππαι δ' ἐπὶ τῶν σὺν

---

1. a. Gef. unweit des Sipylos. Wohl 5. jahrh. v. Chr. Journ. of Hell. Stud. 2, 296. Syll 455. Zeile 1 und 2 auf der einen, dem Sipylos zugewandten seite, z. 3. 4. auf der entgegengesetzten, dem Hermos zugewandten seite des steines **b.** Gef. zwischen Akraephiae und Kopae bei kap Phtelio des Kopaissees. Etwa ende d. 4. oder anf. d. 3. jahrh. v. Chr. IG. VII 2792. Syll 454. Bünde ordnen gebietsstreitigkeiten ihrer mitglieder: A. Wilhelm, Neue Beitr. z. griech. Inschriftenkunde (Sitzungsber. d. Wiener Akademie 1911) 14. Cf. auch no. 5 **c.** Gef. auf dem Taygeton. Syll 456. Nach P. Foucart bei Lebas, Voy. archéol. II 167 b von der grenzregulierung durch Tiberius (25 p. Chr.). Gleichlautend Ath. Mitt. 19, 351. Urkunden über die grenzen von Messenien und Lakonien in der Kaiserzeit: Ath. Mitt. 29, 364 **d.** Gef. in Nisyros auf der mauer der alten stadt. IG. XII_3 86 mit abbildung. Syll 458. Ähnlich Syll 457 **e.** Gef. auf der strasse nach Eleusis. IG. I Suppl. p. 51 no. 505 a. Michel 740. Roberts II 335. 5. jahrh. v. Chr. Grenzsteine von tempeln und heiligen stätten: Michel 736—809 **f.** Gef. im Piräus, ebenfalls g—i. IG. I Suppl. p. 121 no. 521 b. Syll 459. Roberts II 344. Gegen mitte d. 5. jahrh. v. Chr. Grenzte stadtathenisches gebiet vom Piräus ab, ähnlich Syll. 460. Über grenzsteine des Piräus P. Foucart, Journal d. Savants 1907, 177 **g.** IG. I 517 und I Suppl. p. 52. Syll 435. Roberts II 338. 1. Hälfte d. 5. jahrh. v. Chr. Grenzstein des den Trittyen in den werften angewiesenen raumes, cf. Schaefer, Ath. Mitt. 5, 86. Judeich, Topogr. v. Athen 387 anm. 14. A. Wilhelm, Beitr. 29 **h.** IG. I Suppl. p. 121 no. 519 a. Roberts II 341. 5. jahrh. v. Chr. Judeich a. a. o. 393 **i.** IG. I 520 u. I Suppl. p. 157. Roberts II 342. 5. jahrh. v. Chr. Judeich a. a. o. 393 **2.** Gef. in Gortyn. Bull. Corr. Hell. 9, 6. Michel 17. Dialekt-

ˇΑρχω[νι] | τῶ ᾿Αντιόχω· τά[δε] συνέϑεντο Γορτύνιοι καὶ Λαππαῖοι συν|μαχήσην ἀλλάλοις τὸν ἅπαντα χρόνον ἁπλόως κἀδόλως, || κἠψῆϑϑαι τὸν Λαππαῖον [τ]οῖς Γορτυνίοις καὶ πολέμω χ[ί]|ρῆνας ὅπυι κα παρκαλίωντι οἱ Γορτύνιοι, καὶ τὸν αὐτὸν φίλον κἠ|χθρὸν ἐξῆν τοῖς Γορτυνίοις· καἴ τίς κα πολεμῆ τοῖς Γορτυνίοις | ἢ φρώριον ἢ λιμένας καταλαμβάνη, ἢ χώρας ἀποτάμνηται, βοαϑιόν|των οἱ Λαππαῖοι τοῖς Γορτυνίοις καὶ κατὰ γᾶν καὶ κατὰ ϑάλαϑϑαν || παντὶ σϑένει ἐς τὸ δυνατόν· κατὰ τὰ αὐτὰ δὲ καἴ τίς κα τοῖς Λαπ|παίοις πολεμῆ ἢ ἀποτάμνηται χώρας ἅς ἔχοντες πορτῆνϑον | ἐς τὰν πορτὶ Γορτυνίονς φιλίαν καὶ συ[ν]μαχ[ί]αν, [ἢ] φρώρια ἢ λιμέ|νας καταλαμβάνηται, βοαϑιόντων οἱ Γορτύνιοι τοῖς Λαππαίοις | καὶ κατὰ γᾶν καὶ κατὰ ϑάλαϑϑαν ἀπροφασίστως παντὶ σϑέ||νει ἐς τὸ δυνατόν· ἐξαγωγ[ά]ν δ' ἦμεν τῶι τε Γορτυνίωι Λάπ|[πα]ϑεν καὶ τῶι Λαππαίωι Γορτύναϑεν πάντων κατὰ γᾶν μὲν | ἀτελεί, κατὰ ϑάλαϑϑαν δὲ καταβάλλοντανς τέλη κατὰ τὸνς | νόμονς τὸνς ϝεκατέρη κειμένονς ὑπὲρ τῶν ἐνλιμενίων. |

᾿Ομοσάντων δ' οἱ μὲν Γορτύνιοι τοῖς Λαππαίοις οἱ ἄνδρες επιου | – – –

3. Sympolitie von Stiris und Medeon (Phokis). (Nach 182/1 v. Chr.)

a

[Θ]εὸς τύχαν ἀγα|[ϑ]άν. Στραταγέοντος | [τ]ῶν Φωκέων Ζευξίου, | [μ]ηνὸς ἑβδόμου, ὁμολο[γ]|[ί]α τᾶι πόλει Στειρίων καὶ | [τᾶι] πόλει Μεδεωνίων· Συ[ν|ε]πολίτευσαν Στείριοι κα[ὶ | Μ]εδεώνιοι, ἔχοντες ἱερά, πό|[λι]ν, χώραν, λιμένας, πάντα || [ἐ]λεύϑερα, ἐπὶ τοῖσδε· εἶμεν | [τ]οὺς Μεδεωνίους πάντας | [Σ]τιρίους ἴσους καὶ ὁμοίους, | [κ]αὶ συνεκ(κ)λησιάζειν καὶ συ|ναρχοστα-

---

inschr. 5018. Der stein ist vollständig, die fortsetzung stand auf einem anderen stein. Bündnis zwischen Rhodos und Hierapytna Michel 21, zwischen Smyrna und Magnesia a. S. ibid. 19; besonders viele bündnisse kretischer staaten, s. ausser Dialektinschr. III_2: Michel 26. 29. 30. Rev. d. ét. gr. 1911, 377. Alle, auch die literarisch überlieferten bündnisse bis 338 v. Chr. bei v. Scala, Die Staatsverträge des Altertums I (1898) **5** = καὶ ἕψεσϑαι **7** z. 7—9 die üblichen formeln eines schutzbündnisses; nichthilfe im falle der offensive Michel 21_{73}, nicht auf eigene hand krieg anfangen oder frieden schliessen Michel 29_8 **18** s. Pauly-Wissowa s. v. ἐλλιμένιον **19** einen solchen schwur s. Syll 463 (Michel 23) (Dreros u. Knosos) **3.** Gef. in Stiris. IG. IX_1 32. Syll 426. Michel 24. Über die zeit Dittenberger im Corpus und der Syll. Kommentar von W. Feldmann, Analecta epigraphica ad historiam synoecismorum et sympolitiarum (Dissertationes Argentoratenses IX p. 225), der auch andere urkunden der art bespricht, besonders die über den synoikismos von Teos und Lebadea (Syll 177. Michel 34). Synoikievertrag aus d. arkad. Orchomenos Solmsen 2 **9** auch Gortyn und Lappa haben Häfen cf. no. 2_{17} **14** ἀρχοστατεῖν = ἄρχοντα καϑιστάναι Dittenb.

τεῖσθαι μετὰ τᾶς ‖ [πό]λιος τῶν Στιρίων, καὶ δικά|[ζε]ιν τὰς δίκας τὰς ἐπὶ πόλι|[ο]ς πάσας τοὺς ἐνικομένους | [τ]αῖς ἀλικίαις· ἱστάνθω δὲ κα[ὶ | ἱ]εροταμίαν ἐκ τῶν Μεδεω‖[ν]ίων ἕνα τὸν θυσέοντα τὰς | θυσίας τὰς πατρίους Μεδεων|[ί]οις ὅσαι ἐντὶ ἐν τῶι πολιτικῶι νόμ[ωι, | μ]ετὰ τῶν ἀρχόντων τῶν στα|[θ]έντων ἐν Στίρι. λανβανέτω ‖ [δ]ὲ ὁ ἱεροταμίας ἀρέσμιον ὃ [τοὶ | ἄ]ρχοντες ἐλάμβανον, ἡμι|[μ]ναῖον καὶ τῶν χοῶν τὸ ἐπ[ι|β]αλὸν τῶι ἱεροταμίαι· συνδι|[κ]αξεῖ δὲ ὁ ἱεροταμίας μετὰ ‖ [τ]ῶν ἀρχόντων τὰς δίκας ἃς | [τ]οὶ ἄρχοντες δικάζοντι, καὶ | [κ]λαρωσ(ε)ῖ τὰ δικαστήρια ἅ κα | δέηι κλαρώειν μετὰ τῶν ἀ[ρ]|χόντων· μὴ ἔστω δὲ ἐπάναγ‖[κ]ες λειτουργεῖν τοὺς Μεδε|ωνίους ἐν Στίρι τὰς ἀρχάς, ὅσοι | γεγένηνται ἐν Μεδεῶνι ἄρ|χοντες, ξενοδίκαι, πρακτῆρες, | δαμιουργοί, ἱερεῖς, ἱεράρχαι, καὶ ‖ τᾶν γυναικῶν ὅσαι ἱερητεύ|κα(ν)τι, εἰ μή τις ἑκὼν ὑπομένοι· | ἱστάνθων δὲ ἐκ τῶν ἀλειτου|ργήτων τῶν Μεδεωνίων κ|αὶ ἐκ τῶν Στιρίων· δαμιουρ‖[γ]εόντων δὲ καὶ τὰ ἐν Μεδε|[ῶνι ἱ]ερὰ καθὼς ὁ πολιτικὸς νό|μος κελεύει. καὶ τὰν χ[ώ|ραν] τὰν Μεδεωνίαν εἶμεν | [π]ᾶσαν Στιρίαν καὶ τὰν Στι‖ρίαν Μεδεωνίαν κοινὰν π[ᾶ|σα]ν. κοινωνεόντω δὲ οἱ Μεδε‖[ώ]νιοι τᾶν θυσιᾶν τᾶν ἐν Στί‖[ρι] πασᾶν, καὶ τοὶ ⟨τοι⟩ Στίριοι τᾶν ἐν Με|δεῶνι πασᾶν. μὴ ἐξέστω δ‖ὲ ἀποπολιτεύσασται τοὺ[ς] | Μεδεωνίους ἀπὸ τῶν Στιρί‖[ων] μηδὲ τοὺς Στιρίους ἀπὸ | [τ]ῶν Μεδε[ωνί]ων· ὁπότεροι | [δ]έ κα μὴ ἐμμείνωντι ἐν τοῖ‖[ς] γεγραμμένοις, ἀποτει|σάντων τοῖς ἐμμεινά[ν]|τοις ἀργυρίου τάλαν|τα δέκα.

b

[*9* π]οιεόντων· ‖ [γ]ραφάντων δὲ τὰν ὁμ[ο]‖λογίαν ἐν στάλαν καὶ ἀν[αθέ]‖ντων ἐν τὸ ἱερὸν τᾶς Ἀ[θάν]‖ας, θέστων δὲ τὰν ὁμο[λογί]‖αν καὶ παρὰ ἰδιώταν ἐσ[φρα]|||γισμέναν. ἁ ὁμολογία [παρὰ] | Θράσωνα Λιλαιέα. μάρ[τυ]‖ρες· Θράσων Δαματρίου Ἐ|λατεύς, Εὐπαλίδας Θρά|σωνος Λιλαιεύς, Τιμο‖κράτης Ἐπινίκου Τιθορρε|ύς. δόντων δὲ τοὶ Στίριοι | τᾶι φατρίαι τῶν Μεδεωνί|ων ἐν ἐτέοις τετταροις | ἀργυρίου μνᾶς πέντε κα[ὶ ‖ τ]όπον τὰν καλειμέναν | [*1*]α[*2*]τρειαν.

4. Isopolitie von Pergamon und Temnos (anfang des 3. jahrh. v. Chr.)

1 [Ἔγνω βο]υλὴ καὶ δῆμος· γνώμη στρατηγῶν· | [ἐπεὶ ὁ] δῆμος ὁ Τημνιτῶν οἰκείως διακ[εί|μενος] τυγχάνει τῶι δήμωι τῶι

---

25 besoldung der priester **42** zu ἱστάνθων (passiv) Brugmann, Gr. Grammatik[4] 395 **71** über die namen Dittenberger **77** eine polis der M. gibt es nicht mehr, wohl aber eine phratrie **4.** Gef. in Pergamon. Inschr. von Pergamon 5. OGI 265. Michel 18, cf. Szanto 78, der die hierher gehörigen, zum grossen teil kretischen inschriften einteilt und bespricht. Besonders ausführlich die Isopolitie von Hierapytna und Priansos Michel 16 **1** ff. beschluss von Pergamon **13** ff. der Isopolitievertrag im dialekt

Περγαμην[ῶν, | ἀγαθῆ]ι τύχηι, δεδόχθαι τῆι βουλῆι καὶ τῶι δή||[μωι], ἀποστεῖλαι πρεσβευτὰς δύο, οἵτινες παρα|[γεν]όμενοι ἐμφανιοῦσι τήν τε εὔνοιαν ἣν ἔχων | [δι]ατελεῖ πρὸς αὐτοὺς ὁ δῆμος ὁ Περγαμηνῶν | [κα]ὶ διαλεγήσονται ὅπως ψηφισθῆι ταῖς πόλεσιν | [ἀμ]φοτέραις ἰσοπολιτεία. ἐὰν δὲ φαίν[η]ται || [Τη]μνίταις ἐπιτήδειον εἶναι, συνθεῖναι περὶ τ[ού|του τ]οὺς ἀφεσταλμένους αὐτοκράτορας. | [οἱ αἱρε]θέντες Ἀπολλωνίδης Ἀπελλέος, Η[*7* | Ἑρ]μίππου. Ἀγάθαι τύχαι. ἔδοξε Ταμ[νίταισι | κα]ὶ Περ[γ]αμήνοισι, ἐπὶ προτάνιος τῶ μ[ετὰ Ἡρα||[κ]λήϊδαν τὸν Δίτα μῆννος Ἡράω, ἐν [Περγάμω] | ἐπὶ πρυτ[ά]νιος Ἀριστοκράτεος τῶ Ἱερα[*7*], | μῆνος Ἡράω· ἔμμεναι Ταμνί[ταισι ἐν Περ]|γάμω πολι[τ]είαν καὶ Περγαμή[νοισι ἐν Τάμνω,] | μετεχόντ[ε]σσι ὦν καὶ οἱ ἄλλο[ι πολῖται μετέχοι]||σι, καὶ γᾶς καὶ οἰ[κία]ς ἔγκτησιν ἔ[μμεναι τῶ Ταμνί]|τα ἐμ Περγάμω [κ]αὶ τῶ Περγ[αμήνω ἐν Τάμνω. ψᾶφον | δ]ὲ φέρην τὸν Ταμνίταν [ἐμ Περγάμω, καθάπερ ὁ Περ|γ]άμηνος φέρει, κα[ὶ τ]ὸν Π[εργάμηνον ἐν Τάμνω καθάπερ | ὁ] Ταμνίτας φέρε[ι *18* || σ]τείχην ἢ ἐπὶ συ[*14*] | [*2*]σι ται[*9*].

5. Schiedsspruch in den aus der Sympolitie von Melitaia und Perea entstandenen Streitigkeiten (gegen 200 v. Chr.)

Μελιταιέοις καὶ Πηρέοις ἔκριναν οἱ ὑπὸ τῶν Αἰτωλῶν αἱρεθέν|τες δικασταί, Δωρίμαχος, Πολεμαῖος, Ἀργεῖος Καλυδώνιοι, αὐτῶν | ἐπιχωρησάντων ἐξ ὁμολόγων· ὅρια μὲν εἶμεν τᾶς χώρας Μελιταιέ|οις καὶ Πηρέοις, ὡς ὁ Ἀκμεὺς ἐμβάλλει ἐν τὸν Εὔρωπόν, καὶ ἀπὸ τοῦ || Ἀκμέος ἐν τὰν παγὰν τοῦ Γαλαίου, καὶ ἀπὸ τοῦ Γαλαίου ἐν τὰν Κολώ|ναν, καὶ ἀπὸ τᾶς Κολώνας ἐπὶ τὸ Ἑρμαῖον ἐπὶ τὰ Εὐρύνια, καὶ ἀπὸ τῶν Ε[ὐ]|ρυνίων κατὰ τῶν ἄκρων, ὡς ὕδωρ ῥεῖ ἐν τὸν Εὔρωπόν, ἐκ τοῦ Εὐρω|ποῦ ἐν τὸν Ἐλιπῆ, ἐκ τοῦ Ἐλιπέος ἐν τὸ νέμος τὸ ἄγον ἐν τὰν Ἄ[μπε]|λον, ἀπὸ τᾶς Ἀμπέλου κατὰ τῶν ἄκρων ἐπὶ τὸ Ὕπατον, ἀπὸ || τοῦ Ὑπάτου ἐν τὸν Κερκινῆ, ἀπὸ τοῦ Κερκινέος ἐν | τὰν Μύνιν, ἀπὸ τᾶς Μύνιος ἐν τὸν Εὔρωπόν, τοῦ Σκαπεταίου | καὶ τοῦ Εὐρωποῦ ἐν τὰν συμβολάν. τὰν δὲ δαμοσίαν χώ|ραν, τούς τε Καράνδας καὶ τὰν Φυλια-

14/15 vgl. no. 50 z. 19/20 **5.** Gef. bei Melitaia. IG IX_2 205 (cf. p. X). Syll 425. Michel 22. Cf. E. Kuhn, Die Entstehung der Städte der Alten p. 124. W. Feldmann, Diss. Argentorat. IX p. 200. Szanto 152. Zur zeit Dittenberger u. Pomtow, Neue Jahrb. 1897, 788. Cf. no. 1b. Die seinerzeit vorliegenden schiedsrichterinschriften sammelte E. Sonne, De arbitris externis, Goett. Diss. 1888 s. auch V. Bérard, De arbitrio etc., Thèse, Paris 1894, jetzt besonders viele in den inschriften von Magnesia und Priene. Grenzstreitigkeiten von Epidauros und Korinth durch Megara geschlichtet (Syll 452 = Michel 20). Cf. auch Michel 14. 36 **1** über die lage der städte Feldmann; die lage der plätze z. 4 ff. ist nicht festzustellen

δόνα, μὴ ἀποδόσθων Μελ|λιταεῖς, ὥστε πατρώιαν ἔχειν τὸν πριάμενον, πολιτευόντω[ν] || Πηρέων μετὰ Μελιταιέων, ἀλλὰ κατ' ἄνπαλον μισθούντω κα|θὼς καὶ τὸ πρότερον. εἰ δέ κα ἀποπολιτεύωντι Πηρεῖς ἀπὸ Μελ[ι]||ταέων, περὶ μὲν τᾶς χώρας ὅροις χρήσθων τοῖς γεγραμμένοις, καὶ ἔ|χοντες ἀποπορευέσθων βουλευτὰν ἕνα, καὶ τὰ δάνεια συναπο|τινόντω, ὅσα κα ἁ πόλις ὀφείλῃ, κατὰ τὸ ἐπιβάλλον μέρος || τοῦ βουλευτᾶ, καὶ ἐμφερόντω τὰ ἐν [τ]οὺς Αἰτωλοὺς γινόμε|να κατὰ τὸν βουλευτάν. ἀποδόντων δὲ οἱ Πηρεῖς τὰς δεκάτας | τὰς γινομένας τοῖς δανεισταῖς, ἃς ὀφείλοντι ἐτέων τριῶν, ἀ|ναβολὰν λαβόντες ἔτη τρία. ὅσα δὲ καὶ πρότερον ἐλάμβανον ο[ἱ] | Πηρεῖς πὰρ τᾶς πόλιος κατ' ἐνιαυτόν, τοῖς τε ἀρχόντοις ἀργυρίου || μνᾶς τρεῖς καὶ κάρυκι στατῆρας δέκα καὶ εἰς τὸ ἔλαιον τοῖς νεανί|οις στατῆρας δέκα καὶ εἰς τὰν θυσίαν τῶν Σωτηρίων στατῆρας πέντε, | καὶ νῦν λανβανόντω, καὶ τὰ λοιπὰ ἐπιμελέσθω ἁ πόλις τῶν Μελιται|έων τῶν κοινῶν τῶν ἐμ Πηρέοις καθὼς καὶ τὸ πρότερον. νόμοις δὲ χρήσ|θων Πηρεῖς τοῖς αὐτοῖς καὶ Μελιταεῖς, τὰς δὲ ἐν ἀγορανόμοις δίκας γινομ[έ]||νας Πηρέοις ποτὶ Πηρεῖς κατὰ τετράμηνον δικαζόντω ἐμ Πηρέοις οἱ ἐγ Με|λιτείας ἀγορανόμοι. ἀναγραφήτω δὲ ταῦτα ἐν στάλας ἔν τε Μελιτείαι | καὶ ἐν Δελφοῖς καὶ ἐν Καλυδῶνι καὶ ἐν Θέρμωι. μάρτυρες· τὸ συνέδριον ἅ|παν τὸ ἐπὶ γραμματέος Λύκου καὶ οἱ προσ(σ)τάται τοῦ συνεδρίου [Ὀρ-? Πει-?]|θόλαος Σπάττιος, Δύσωπος Ἀπολλωνιεύς, καὶ ὁ γραμματεὺς [Λύ]||κος Ἐρυθραῖος, καὶ ὁ ἵππαρχας Ἀλέξων Ἑρμάττιος, Πανταλέω[ν Πε]|τάλου Πλευρώνιος, Νικόστρατος Νικοστράτου Ναυπάκτιος, | Δαμόξενος Θεοδώρου Ἡρακλεώτας.

6. Antwort des ätolischen Bundes auf das Asyliegesuch von Teos (anfang des 2. jahrh. v. Chr.)

Αἰτωλῶν. |

Στραταγέοντος Ἀλεξάνδρου Καλυδωνίου Παναιτωλικοῖς. | Ἐπεὶ Τήϊοι πρεσ[βευ]τὰς ἀποστείλαντες Πυθαγόραν καὶ Κλεῖτον, τάν τε οἰκειότατα | καὶ τὰν φιλίαν ἀνενηοῦντο καὶ παρεκάλεον τοὺς Αἰτωλούς, ὅπως τάν τε πόλιν || αὐτῶν καὶ τὰν

15 „de novo locare" Feldmann. (von ἀνά u. πάλλω) **20** gemäss dem verhältnis des einen buleuten, den P. in den ätolischen bund sendet, zu den mehreren von M. cf. auch A. Wilhelm, Neue Beitr. zur Inschriftenk. 39 **23** aus ihrer eigenen kasse sollen die P. die seit 3 jahren gestundeten zinsen ihrer staatsschuld bezahlen **31** ἀγορανόμοι cf. die κατὰ δήμου δικασταί in Athen. Aristot. Ἀθ. πολ. 53, 1.
6. Auf den stufen des Dionysostempels in Teos waren die antworten verschiedener staaten auf die asyliegesuche der Teier verzeichnet. Von diesen antworten sind 29 in der umgebung von Teos gefunden, darunter eine der Römer, 20 kretischer staaten. Alle publiziert bei Lebas, Voy. archéol. III 60 ff., eine auswahl bei Michel 51 ff. Unser text = CIG 3046. Lebas III 85. Michel 68. Cf. Bull. Corr. Hell. 11, 333 ff.

χώραν ἐπιχωρήσωντι ἱερὰν εἶμεν καὶ ἄσυλον τοῦ Διονύσου, | δεδόχθαι τοῖς Αἰτωλοῖς ποτὶ τοὺς Τηΐους τὰν φιλίαν καὶ οἰκειότατα τὰν ὑπάρχουσαν | διαφυλάσσειν καὶ τὰ ψαφίσματα τὰ πρότερον γεγονότα αὐτοῖς περὶ πάντων τῶν φιλαν|θρώπων κατάμονα εἶμεν· ὑπάρχειν δὲ αὐτοῖς παρὰ τῶν Αἰτωλῶν τᾶς τε πόλιος καὶ τᾶς | χώρας τὰν ἀνιέρωσιν καὶ ἀσυλίαν, καθὼς καὶ οἱ πρεσβευταὶ ἀξίουν, καὶ μηθένα Αἰτωλῶν μηδὲ || τῶν ἐν Αἰτωλίαι κατοικεόντων ἄγειν τοὺς Τηΐους μηδὲ τοὺς ἐν Τέωι κατοικέοντας μηδαμόθεν | ὁρμωμένους, ἀλλὰ τὰν ἀσφάλειαν καὶ ἀσυλίαν εἶμεν αὐτοῖς τὰ ἀπ' Αἰτωλῶν καὶ τῶν ἐν Αἰ|τωλίαι κατοικεόντων. Εἰ δέ τίς κα ἄγηι ἢ αὐτοὺς ἢ τὰ ἐκ τᾶς πόλιος ἢ χώρας, τὰ μὲν ἐμ|φανῆ ἀναπράσσειν τὸν σ[τρ]ατα[γὸν] καὶ τοὺς συνέδρους ἀεὶ τοὺς ἐνάρχους, τῶν δὲ | ἀφανέων ὑποδίκους εἶμεν τοὺς ἀχνηκότας, γινομένας τοῖς Τηΐοις τᾶς ἐγδικάσιος || καὶ τᾶς λοιπᾶς οἰκονομίας, καθὼς καὶ τοῖς Διονυσιακοῖς τεχνίταις ὁ νόμος τῶν | Αἰτωλῶν κελεύει. Ὅπως δὲ καὶ εἰς τοὺς νόμους καταχωρισθῆι (ά) καθιέρωσις καὶ ά ἀσυλία, | τοὺς κατασταθέντας νομογράφους καταχωρίξαι, ἐπεί κα αἱ νομογραφίαι γίνωνται | ἐν τοὺς νόμους.

7. Bürgereid von Chersonesos (anfang des 3. jahrh. v. Chr.)

Ὀμνύω Δία, Γᾶν, Ἅλιον, Παρθένον, | [θ]εοὺς Ὀλυμπίους καὶ Ὀλυμπίας | [κ]αὶ ἥρωας ὅσοι πόλιν καὶ χώραν | καὶ τείχη ἔχοντι τὰ Χερσονασι||τᾶν· ὁμονοησῶ ὑπὲρ σωτηρίας | καὶ ἐλευθερίας πόλεος καὶ πολι|τᾶν, καὶ οὐ προδωσῶ Χερσόνασον | οὐδὲ Κερκινῖτιν οὐδὲ Καλὸν λιμέ|να οὐδὲ τἄλλα τείχη οὐδὲ τᾶς ἄλ||λας χώρας ἃν Χερσονασῖται νέμον|ται ἢ ἐνέμοντο οὐθενὶ οὐθὲν οὔτε Ἕλ|λανι οὔτε βαρβάρωι, ἀλλὰ διαφυλα|ξῶ τῶι δάμωι τῶι Χερσονασιτᾶν, οὐ|δὲ καταλυσῶ τὰν δαμοκρατίαν οὐ||δὲ τῶι προδιδόντι καὶ καταλύοντι ἐ|πιτρεψῶ οὐδὲ συγκρυψῶ, ἀλλὰ ἐ|ξαγγελῶ τοῖς δαμιοργοῖς τοῖς κα|τὰ πόλιν. καὶ πολέμιος ἐσσοῦμαι τῶ[ι] | ἐπιβουλεύοντι καὶ προδιδόντι ἢ ἀφι||στάντι

12/13 „Bona manifesta, quae actori erepta esse sponte pateat." Böckh. **14** „Bona latentia" B. Seeräuberei der Aetoler Polyb. 4, 16, 10. Syll 241—244. 247 (Michel 131. 410. 27.) **7.** Gef. bei Chersonesos. Latyschew, Sitzungsber. der Berl. Akad. 1892, 479 mit kommentar, namentlich betr. das stadtgebiet und die institutionen von Chrs., derselbe, Inscr. antiqu. orae sept. Ponti Euxini IV 79. Syll 461. Michel 1316. Zur sache Xen. Memor. 4, 4, 16: καὶ πανταχοῦ ἐν τῇ Ἑλλάδι νόμος κεῖται τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν καὶ πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον. Bürgereid von Itanos Syll 462 (Michel 1317), eid der in die bürgerschaft eintretenden epheben von Dreros Syll 463 (Michel 23), der athenischen epheben Pollux 8, 105. Stob. Anthol 43, 48. **1** Παρθένος stadtgottheit von Ch. cf. Strabo 7, 4, 2. Syll 326_{24} **8** Arrian. Peripl. 30: ἀπὸ δὲ Χερρονήσου ἐς Κερκινῖτιν στάδιοι ἑξακόσιοι καὶ ἀπὸ Κερκινίτιδος εἰς Καλὸν λιμένα, Σκυθικὸν καὶ τοῦτον, ἄλλοι ἑπτακόσιοι

Χερσόνασον ἢ Κερκινῖτιν ἢ | Καλὸν λιμένα ἢ τὰ τείχη καὶ χώραν| τὰν Χερσονασιτᾶν· καὶ δαμιοργησῶ | καὶ βουλευσῶ τὰ ἄριστα καὶ δικαιότα|τα πόλει καὶ πολίταις· καὶ τὸν σαστῆ||ρα τῶι δάμωι διαφυλαξῶ καὶ οὐκ ἐ|χφερομυθησῶ τῶν ἀπορρήτων οὐ|θὲν οὔτε ποτὶ Ἕλλανα οὔτε ποτὶ βά[ρ]||βαρον, ὃ μέλλει τὰν πόλιν βλάπτειν· | οὐδὲ δωρεὰν δωσῶ οὐδὲ δεξοῦμα[ι] || ἐπὶ βλάβαι πόλεος καὶ πολιτᾶν, οὐδὲ | ἐπιβουλευσῶ ἄδικον πρᾶγμα οὐθε|νὶ οὐθὲν τῶμ πολιτᾶν τῶμ μὴ ἀφε|στακότων, οὐδὲ τῶι ἐπιβουλεύο[ντι | ἐπιτρεψῶ οὐδὲ συγκρυψῶ οὐθὲν οὐθε]||νί, ἀλλ’ εἰσαγγελ[ῶ] καὶ κρινῶ ψά[φωι] | κατὰ τοὺς νόμους· οὐδὲ συνωμο[σί]|αν συνομοῦμαι οὔτε κατὰ τοῦ κοιν[οῦ] | τοῦ Χερσονασιτᾶν οὔτε κατὰ τῶμ [πο]||λιτᾶν οὐδενὸς ὃς μὴ ἀποδέδεικτ[αι || π]ολέμιος τῶι δάμωι· εἰ δέ τινι συνώ||[μο]σα καὶ εἴ τινι καταλέλαμμαι ὅρ[κωι | ἢ ἐ]πευχᾶι, δι[α]λυ[σ]αμένωι μὲν ἄ[μει|ν]ον εἴη καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς, ἐμμ[έ|ν]οντι δὲ τὰ ἐναντία. καὶ εἴ τινά κ[α || σ]υνωμοσίαν αἴσ[θω]μαι ἐοῦσαν [ἢ γιγ]|νομέναν, ἐξαγγελῶ τοῖς δαμ[ιορ|γ]οῖς. οὐδὲ σῖτον ἀπὸ τοῦ πεδίου ἀ[πα]|γώγιμον ἀποδωσοῦμαι οὐδὲ ἐξ[α]|ξῶ ἀλλᾶι ἀπὸ τοῦ πεδίου ἀλλ’ ἢ [εἰς || Χ]ερσόνασον. Ζεῦ καὶ Γᾶ καὶ Ἅλιε [καὶ] | Παρθένε καὶ θεοὶ Ὀλύμπιοι, ἐμμέν[ον]|τι μέμ μοι εὖ εἴη ἐν τούτοις καὶ αὐτ[ῶι] | καὶ γένει καὶ τοῖς ἐμοῖς, μὴ ἐμμέν[ον]|τι δὲ κακῶς καὶ αὐτῶι καὶ γένει καὶ [τοῖς] || ἐμοῖς, καὶ μήτε γᾶ μοι μήτε θά[λασ]|σα καρπὸν φέροι μήτε γυν[αῖκες εὐτε|κ]νοῖεν μήτε ------------

8. Gesetz von Ilion gegen Tyrannis und Oligarchie (anfang des 3. jahrh. v. Chr.)

A

[Ὃς δ]’ ἂν ἀπ[ο]κτείνηι τ[ὸν τ]ύραννο[ν ἢ τὸν ἡ]||γεμόνα τῆ[ς] ὀλιγαρ[χ]ίας ἢ τὸν τὴν δ[ημοκρα]|τίαγ καταλύον[τ]α, ἐὰμ μὲν ἔναρχο[ς, τά]||λαντον ἀργυρ[ί]ου λ[αμβάνειν παρὰ τῆς πό]||λεως

24 σαστῆρα bedeutung unbekannt **50** das getreide des hinterlandes soll nur von Ch. aus exportiert werden **8.** Viereckiger marmorblock, auf 4 seiten *ABCD* beschrieben, gef. bei Ilion. Die ersten 18 zeilen von *A* sind verstümmelt. Brückner, Sitzungsber. d. Berl. Akad. 1894, 461. OGI 218. Michel 524 (nach kollation und photographie Haussoulliers). Inscr. jur. II, série p. 24 (mit einer studie über verwandte inschriften und texte). Vgl. den beschluß der Athener gegen tyrannis Andocides Mysterienrede 96 (auch Plutarch Solon 19. Aristot. Ἀθ. πολ. 16, 10. IG I 9—11), beschluss der Eretrier Oestr. Jahresh. 8, 14. Cf. auch Michel 358. Sitzungsber. d. Berl. Akad. 1906, 252 = Archäol. Anzeiger 1906, 16. Weiteres material bei Swoboda, Zur Beurteilung der griech. Tyrannis, Klio 1912, 341 ff. ders. in K. F. Hermanns Lehrb. d. griech. Antiquitäten 1. Teil, Band 3^6 (1913) 75 ff. Hier sind die abschnitte über den tyrannen und das oberhaupt der oligarchie gedruckt, das gesetz enthält noch bestimmungen über die parteigänger des tyrannen und der oligarchen und über die verwendung von geldbeträgen, die bürger zur förderung der demokratie gestiftet haben **21** vgl. Sall. Cat. 30. ἔναρχος bürger optimo iure: ἔναρχος, ξένος,

αὐθήμ[ερον] ἢ τῆι δευτέραι [κα]ὶ εἰκό[να] | χαλκῆν αὐτο[ῦ στ]ῆ[σ]α[ι τ]ὸ[ν δῆ]μον, εἶναι δὲ ‖ αὐτῶι καὶ σίτη[σ]ιν [ἐ]μ πρυ[τα]νείωι, [ἕ]ως [ἂν] ζῆ[ι], | καὶ ἐν τοῖς ἀγῶ[σι] εἰς π[ρο]εδρίαν [κηρύ]σσεσ|θαι ὀνομαστεὶ καὶ δύο δ[ρ]αχμὰς δίδοσθαι | αὐτῶι ἑκάστης ἡμέρας μέχρι ἂν ζῆι. Ἐὰν δὲ | ξένος ἦι ὁ ἀποκτ[εί]νας, ταὐτὰ δίδοσθαι αὐτῶ[ι] ‖ καὶ πολίτης ἔστω [κα]ὶ εἰς [φυλ]ὴν ἐξέστω αὐ[τ]ῶ[ι] | εἰσελθεῖν ἣν ἂν βούληται. Ἐὰν δὲ | δοῦλος ἦ[ι| ὁ ἀ]ποκτε[ίνας, ἐπί]τιμος [ἔ]στω καὶ πολιτεί|[ας μ]ε[τεχέτω κατὰ τὸν ν]όμογ καὶ τριάκοντα [μ]νᾶς λαμβανέτω παρὰ τῆς πόλεως] αὐθήμερον ἢ [τῆι ‖ δευτέραι καί, μέχρι ἂν ζῆι, ἑκάσ]της ἡμέρας λαμβ|[ανέτω δραχμήν. 7], τῆς ἀρχῆς οἱ με|[------ τάλαντον ἀργ]υρίου λαμβανέ[τωσαν | ---] τριάκοντα μνᾶ[ς---

B

---ἀ]λλὰ τῆς πόλεως εἶναι· | [κα]ὶ εἴ τίς τι ἠδικήθη ὑπ' αὐ|[τῶν], ἀπολαμβάνειν ἐντεῦ|[θεν. Ἐ]ὰν δέ τις τὸν τύραν||[νον ἢ τ]ὸν ἡγεμόνα τῆς ὀλι|[γαρ]χίας ἢ τὸν (τὴν) δημοκρατί|αγ καταλύσαντα τῶν συσ|στρατιωτῶν τις ἀποκτεί|νας εἰς δημοκρατίαγ κατα||στήσηι τὴμ πόλιν, ἀζήμιόν | τε αὐτὸν εἶναι ὧν ἔπραξεν | μετ' αὐτῶγ καὶ τάλαντον ἀρ|γυρίου λαμβάνειμ παρὰ τοῦ | δήμου.

C

Ἐ|ὰν δέ τις τύραννος ἢ ἡγεμὼν ὀλιγαρχίας ἢ ὅσ|τις Ἰλιέων ἀρχὰς συ[ν]αποδεικνύηι μετὰ τού[των] | ἢ ἄλλος πρὸ τούτων πρίηται γῆν ἢ οἰκίαν ἢ κτήν[η] ‖ ἢ ἀνδράποδα ἢ ἄλλο ὁτιοῦν, ἀκύρως ἐωνήσθω κα[ὶ] | ἐπανίτω εἰς τοὺς ἀποδομένους.

Ὃς ἂν τύρανν[ος] | ἢ ἡγεμὼν γένηται ὀλιγαρχίας ἢ τύραννον στ[ή]||σηι ἢ συνεπανάστηι ἢ δημοκρατίαγ καταλύ|σηι, ὅτου ἄν τι ὄνομα ἦι τούτων ἐάν τε ἐν τοῖς ‖ ἱερ(ητ)εύσασιν ἐάν τε ἐν ἀναθήματι ἐάν τ' ἐπὶ τάφο[υ], | ἐκκόπτειν πάντοθεγ καὶ ἐγ μὲν τῶν ἱερητευ|κότων ἐκκόψαντας πωλεῖγ καὶ τὸμ πριάμενον | ὄνομα ἐπιγράψασθαι ὅ τι ἂν θέληι οἷς μέτεστι· | τὰ δὲ ἀναθήματα ὅσα μὲν ἂν ἰδίαι ἀνατεθῆι, ἐξα||λείψαντας τοῦ ἀναθέντος τὰ ἐπιγράμματα βο[υ]|λεύειν περὶ τοῦ ἀναθήματος τὸν δῆμον, ὅπως μ[ή]|τε ἐκείνων ἐστήξει μηδὲ μνημεῖον μηθὲν ἔσ|ται· ὅπου δὲ κοινὸν ἀνάθημα καὶ ἑτέρων ἐπι|γέγραπται, ἄδηλον ποιεῖν ἐξαλείψαντας τ[ὸ ‖ ὄνομ]α τὸ ἐκείνου. Ἐάν τις ἐπὶ τυράννου ἢ ὀλ[ι]γαρχίας ---

δοῦλος *A* **24** cf. Syll 139 *A* **33** wahrscheinlich bürgerrecht unter gewissen einschränkungen, vgl. no. 54 z. 19: γῆς καὶ οἰκίας ἔγκτησιν κατὰ τὸν νόμον *B* **2** entschädigung für opfer des tyrannen *C* **38** jeder kann das recht kaufen, an stelle eines in den priesterlisten getilgten namens irgend einen anderen aus einer familie, die zugang zu den priesterstellen hat, einzusetzen. Die massregel wird schon deshalb getroffen, damit die ord-

9. Beschlüsse der Demotionidai (396/5 bis mitte d. 4. jahrh. v. Chr.)

A.

Διὸς Φρατρίο· | Ἱερεὺς Θεόδωρος Εὐφαντίδο ἀν|έγραψε καὶ ἔστησε τὴν στήλην. | Ἱερεώσυνα τῶι ἱερεῖ διδόναι τ||άδε· Ἀπὸ τõ μείο κωλῆν, πλευρόν, ὅ|ς, ἀργυρίο III· — ἀπὸ τõ κορείο κωλῆ|ν, πλευρόν, ὅς, ἐλατῆρα χοινικιαῖ|ον, οἴνο ἡμίχον, ἀργυρίο ⊢. — | Τάδε ἔδοξεν τοῖς φράτερσι ἐπὶ || Φορμίωνος ἄρχοντος Ἀθηναίοι|ς, φρατριαρχõντος δὲ Παντακλέ|ος ἐξ Οἴο. — |

Ἱεροκλῆς εἶπε· Ὁπόσοι μήπω διεδικάσ|θησαν κατὰ τὸν νόμον τὸν Δημοτιωνιδ||ῶν, διαδικάσαι περὶ αὐτῶν τὸς φράτερ|ας αὐτίκα μάλα, ὑποσχομένος πρὸς τõ Δ|ιὸς τõ Φρατρίο, φέροντας τὴν ψῆφον ἀπ|ὸ τõ βωμõ· ὃς δ' ἂν δόξηι μὴ ὢν φρατὴρ ἐσα|χθῆναι, ἐξαλειψάτω τὸ ὄνομα αὐτõ ὁ ἱερ||εὺς καὶ ὁ φρατρίαρχος ἐκ τõ γραμματεί|ο τõ ἐν Δημοτιωνιδῶν καὶ τõ ἀντιγράφ|ο· ὁ δὲ ἐσαγαγὼν τὸν ἀποδικασθέντα ὀφε|ιλέτω ἑκατὸν δραχμὰς ἱερὰς τῶι Διὶ τ|ῶι Φρατρίωι, ἐσπράττεν δὲ τὸ ἀργύριο||ν τοῦτο τὸν ἱερέα καὶ τὸν φρατρίαρχο|ν ἢ αὐτὸς ὀφείλεν· τὴν δὲ διαδικασίαν | τὸ λοιπὸν ἶναι τῶι ὑστέρωι ἔτει ἢ ὧι ἂ|ν τὸ κόρεον θύσηι τῆι κορεώτιδι Ἀπατ|ορίων, φέρεν δὲ τὴν ψῆφον ἀπὸ τõ βωμõ· ἐ||ὰν δέ τις βόληται ἐφεῖναι ἐς Δημοτιων|ίδας, ὧν ἂν ἀποψηφίσωνται, ἐξεῖναι αὐ|τῶι· ἑλέσθαι δὲ ἐπ' αὐτοῖς συνηγόρος τ|ὸν Δεκελειῶν οἶκον πέντε ἄνδρας ὑπὲ|ρ τριάκοντα ἔτη γεγονότας, τούτος δὲ || ἐξορκωσάτω ὁ φρατρίαρχος καὶ ὁ ἱερε|ὺς συνηγορήσεν τὰ δικαιότατα καὶ ὀκ | ἐάσεν ὀδένα μὴ ὄντα φράτερα φρατρίζ|εν· ὅτο δ' ἂν τῶν

---

nung der listen nicht durch lücken gestört wird. Inscr. jur. **9.** Stein, auf zwei seiten (*A. B.*) beschrieben, gef. in Dekeleia. IG II$_2$ s. 534 no. 841 b + II$_5$ s. 205 no. 841 b. Syll 439. Michel 961. Roberts II 84. Inscr. jur. 2. série II p. 199 mit übersetzung und kommentar. Literatur daselbst und bei v. Schoeffer in Pauly-Wissowas Realencycl. V$_1$ sp. 201 s. v. Demotionidai: s. besonders Busolt, Handb. der griech. Staatsaltertümer[2] 208. v. Wilamowitz, Aristoteles u. Athen II 259. Vgl. die gesetze der delphischen phratrie der Labyaden Syll 438 = Michel 995, beschluss der Klytidai in Chios Syll 571 = Michel 997. Das psephisma des Hierokles ist aus dem jahre des Phormion (396/5 v. Chr.), das des Nikodemos von derselben hand aufgezeichnet, das des Menexenos ist mehrere jahrzehnte jünger als die beiden ersten **5** μεῖον und κόρειον opfer, am tage Κουρεῶτις der Apaturien dargebracht, ersteres bei der vorstellung der im letzten jahre geborenen kinder vor die phrateres, letzteres (der name von dem abgeschorenen haupthaar) ein jahr vor (z. 27) dem eintritt der söhne in die phratrie (Pollux VIII 107) **13** διαδικάζειν, wie διαψηφίζεσθαι bei den demen, von der prüfung der auf zugehörigkeit zur phratrie anspruch erhebenden und der abstimmung darüber **29** subjekt des satzes ist τὸν Δεκελειῶν οἶκον Wilam., da nach z. 32 aus diesem anwälte gewählt werden, die gegen den appellanten auftreten

ἐφέντων ἀποψηφίσωντα|ι Δημοτιωνίδαι, ὀφειλέτω χιλίας δρα||χμὰς ἱερὰς τῶι Διὶ τῶι Φρατρίωι· ἐσπρ|αττέτω δὲ τὸ ἀργύριον τοῦτο ὁ ἱερεὺς | τõ Δεκελειῶν οἴκο ἢ αὐτὸς ὀφειλέτω· ἐ|ξεῖναι δὲ καὶ ἄλλωι τῶι βολομένωι τῶ|ν φρατέρων ἐσπράττεν τῶι κοινῶι. ταῦ||[τα] δ' ἐ̃ναι ἀπὸ Φορμίωνος ἄρχοντος. ἐπι|[ψ]ηφίζεν δὲ τὸν φρατρίαρχον περὶ ὧν ἄ|ν διαδικάζεν δέηι κατὰ τὸν ἐνιαυτὸν | ἕκαστον· ἐὰν δὲ μὴ ἐπιψηφίσηι, ὀφελέτ|ω πεντακοσίας δραχμὰς ἱερὰς τῶι Διὶ || [τ]ῶι Φρατρίω[ι, ἐ]σπράττεν δὲ τὸν ἱερέα | [κ]αὶ ἄλλο[ν τὸν βο]λόμενον τὸ ἀργύριον | [τοῦ]το [τῶι κοινῶι], τὸ δὲ λοιπὸν ἄγεν τὰ | [μεῖα καὶ τὰ κόρει]α ἐς Δεκέλειαν ἐπὶ τ|[ὸν βωμόν· ἐὰν δὲ μὴ ϑ]ύσηι ἐπὶ τõ βωμõ, ὀφ||[ειλέτω πεντήκοντ]α δραχμὰς ἱερὰς τῶ|[ι Διὶ τῶι Φρατρίωι, ἐσ]πραττέτω δὲ ὁ ἱερ|[εὺς τὸ ἀργύριον τοῦτο ἢ] αὐτὸς ὀφειλέ|[τω, εἰ μὴ λοιμός τις ἔσται ἢ πόλεμος] |

B.

Ἐὰν δέ τι τούτων διακωλύηι, ὅποι ἂν ὁ ἱ||ερεὺς προγράφηι, ἐνϑαῦϑα ἄγεν τὰ μεῖ|α καὶ τὰ κόρεια. Προγράφεν δὲ πρόπεμπ|τα τῆς δορπίας ἐν πινακίωι λελευκομ|ένωι μὴ ἔλαττον ἢ σπιϑαμιαίωι, ὅπο ἂν Δ|εκελειῆς προσφοιτῶσιν ἐν ἄστει· τὸ δ||ὲ ψήφισμα τόδε καὶ τὰ ἱερεώσυνα ἀναγ|ράψαι τὸν ἱερέα ἐν στήληι λιϑίνηι πρ|όσϑεν τõ βωμõ Δεκελειᾶσιν τέλεσι το|ῖς ἑαυτõ.

Νικόδημος εἶπε· Τὰ μὲν ἄλλα κατ|ὰ τὰ πρότερα ψηφίσματα ἃ κεῖται περὶ τ||ῆς εἰσαγωγῆς τῶν παίδων καὶ τῆς διαδ|ικασίας, τὸς δε μάρτυρας τρε̃ς ὃς εἴρη|ται ἐπὶ τῆι ἀνακρίσει παρέχεσϑαι ἐκ τ|ῶν ἑαυτõ ϑιασωτῶν μαρτυρõντας τὰ ὑπερωτώμε(να) | καὶ ἐπομνύντας τὸν Δία τὸν Φράτριον· || μαρτυρε̃ν δὲ τὸς μάρτυρας καὶ ἐπομνύ|ναι ἐχομένος τõ βωμõ· ἐὰν δὲ μὴ ὦσι ἐν τ|ῶ(ι) ϑιάσωι τότωι τοσõτοι τὸν ἀριϑμόν, ἐ|κ τῶν ἄλλων φρατέρων παρεχέσϑω· ὅταν | δὲ ἦι ἡ διαδικασία, ὁ φρατρίαρχος μὴ π||ρότερον διδότω τὴ[ν] ψῆφον περὶ τῶν παί|δων τοῖς ἅπασι φράτερσι, πρὶν ἂν οἱ αὐ|τõ τõ εἰσαγομένο ϑιασῶται κρύβδην ἀ|πὸ τõ βωμõ φέροντες τὴν ψῆφον διαψηφ|ίσωνται· καὶ τὰς ψήφος τὰς τότων ἐναν||τίον τῶν ἁπάντων φρατέρων τῶν παρόν|των ἐν τῆι ἀγορᾶι ὁ φρατρίαρχος διαρ|ιϑμησάτω καὶ ἀναγορευέτω ὁπότερ' ἂν | ψηφίσωνται· ἐὰν δέ, ψηφισαμέ-

---

62 δορπία 1. tag der Apaturien **88** auf die entscheidung der thiasoten muss also noch eine entscheidung aller phrateres folgen, aber nur, wenn erstere für aufnahme gestimmt haben, dies ist keine Appellation. Wenn sie für nichtaufnahme stimmen, folgt, wie z. 100 ff. beweist, keine diadikasie der phrateres, doch kann der abgewiesene an ihre entscheidung appellieren (cf. auch z. 30 ff) Damit fallen die aufstellungen v. Schoeffers bei Pauly-Wissowa V_1 sp. 197. 198

νων τῶν θ|ιασωτῶν ἔναι αὐτοῖς φράτερα, οἱ ἄλλο||ι φράτερες ἀποψηφίσωνται, ὀφειλόντ|ων ἑκατὸν δραχμὰς ἱερὰς τῶι Διὶ τῶι Φ|ρατρίωι οἱ θιασῶται, πλὴν ὅσοι ἂν τῶν | θιασωτῶν κατήγοροι ἢ ἐναντιόμενοι | φαίνωνται ἐν τῆι διαδικασίαι· ἐὰν δὲ || ἀποψηφίσωνται οἱ θιασῶται, ὁ δὲ εἰσά|γων ἐφῆι εἰς τὸς ἅπαντας, τοῖς δὲ ἅπασ|ι δόξει ἔναι φράτηρ, ἐνγραφέσθω εἰς τ|ὰ κοινὰ γραμματεῖα· ἐὰν δὲ ἀποψηφίσω|νται οἱ ἅπαντες, ὀφειλέτω ἑκατὸν δρα||χμὰς ἱερὰς τῶι Διὶ τῶι Φρατρίωι· ἐὰν δέ, | ἀποψηφισαμένων τῶν θιασωτῶν, μὴ ἐφῆ|ι εἰς τὸς ἅπαντας, κυρία ἔστω ἡ ἀποψήφ|ισις ἡ τῶν θιασωτῶν· οἱ δὲ θιασῶται με|τὰ τῶν ἄλλων φρατέρων μὴ φερόντων τὴν || ψῆφον περὶ τῶν παίδων τῶν ἐκ τõ θιάσο | τõ ἑαυτῶν. Τὸ δὲ ψήφισμα τόδε προσαναγ|ραφάτω ὁ ἱερεὺς εἰς τὴν στήλην τὴν λι|θίνην. Ὅρκος μαρτύρων ἐπὶ τῆι εἰσαγω|γεῖ τῶν παίδων· Μαρτυρῶ ὃν εἰσάγει ἑα||υτῶι ὑὸν ἔναι τõτον γνήσιον ἐγ γαμετ|ῆς· ἀληθῆ ταῦτα νὴ τὸν Δία τὸν Φράτριο|ν· εὐορκõ(ν)τι μέν μοι πολλὰ καὶ ἀγαθὰ ἔν|αι· εἰ δ' ἐπιορκοίην, τἀναντία. — |

Μενέξενος εἶπεν· Δεδόχθαι τοῖς φράτερσι περὶ || τῆς εἰσαγωγῆς τῶμ παίδων τὰ μὲν ἄλλα κα|τὰ τὰ πρότερα ψηφίσματα, ὅπως δ' ἂν εἰδῶσι οἱ | φράτερες τοὺς μέλλοντας εἰσάγεσθαι, ἀπο|γράφεσθαι τῶι πρώτωι ἔτει ἢ ὧι ἂν τὸ κούρεο|ν ἄγει τὸ ὄνομα πατρόθεγ καὶ τοῦ δήμου καὶ τῆ||ς μητρὸς πατρόθεν καὶ τοῦ δήμου πρὸς τὸν | φρατρίαρχον· τὸν δὲ φρατρία[ρχον ἀπογραψ]|αμένων ἀναγράψαντα ἐκ[τιθέναι ὅπου ἂν Δεκ]|ελεε̃ς προσφοιτῶσι, ἐκτιθ[έναι δὲ καὶ τὸν ἱερέα] | ἀναγράψαντα ἐν σανιδ[ίωι λευκῶι ἐν τῶι ἱερ]||ῶι τῆς Λητοῦς. Τὸ δὲ ψ[ήφισμα τόδε ἀναγράψαι | εἰς τὴν] στήλην - - - -

10. Dekret der attischen Phyle Erechtheis für einen Wohltäter (1. hälfte des 3. jahrh. v. Chr.)

Ἔγραψε δὲ καὶ ψήφισμα ὅπως ἂν [Ἐρεχ]θεῖ|δαι εἰδῶ[σιν ἅπ]αντες τὰ ἑαυτῶν κτήματα, καὶ οἱ ἐπιμεληταὶ | οἱ αἰεὶ καθιστάμενοι κατ' ἐνιαυτὸν βαδίζοντες ἐπὶ τὰ κτήμ|ατα δὶς τοῦ ἐνιαυτοῦ ἐπισκοπῶνται τά τε χωρία εἰ γεωργεῖτ||αι κατὰ τὰς συνθήκας καὶ τοὺς ὅρους εἰ ἐφεστήκασιν κατὰ τ|ὰ αὐτά· καὶ ταῦτα πεποίηκεν οὔτε χάριν οὐδὲ πρὸς ἕνα περὶ π|λείονος ποιούμενος τῶν συμφερόντων τῆι φυλῆι οὔτε δω|ροδοκούμενος οὐδ' ὑφ' ἑνός, ἀλλὰ λέγων αἰεὶ καὶ πράττων δια|τετέλεκεν τὰ

118 „malo πρῶτον ἔτος non priorem annum intellegere sed proximum." Dittenb. **10.** Gef. auf der Akropolis. IG II_1 564. Syll 429. Michel 139. Roberts II 76. Die ersten zeilen der inschrift sind verstümmelt. Ein kleines bruchstück, das oben an den stein gehört, publiziert A. Wilhelm, Ἐφημ. ἀρχαιολ. 1905, 224. Landbesitz eines demos s. no. 27; cf. auch no. 15. Urkunden der attischen phylen IG II_1 553 ff. II_5 p. 134 ff., auswahl bei Michel 136 ff. **2** ἐπιμεληταί cf. IG II_1 553. 554. 556. 558. 559

βέλτιστα τῆι φυλῆι, ἀνένκλητον ἑαυτὸν παρεσ||χηκὼς πρὸς πάντας τοὺς φυλέτας, ἀγαθεῖ τύχει, δεδόχθαι τῆι | Ἐρεχθῆιδι φυλῆι, ἐπαινέσαι Ἀντισθένην Νικάνδρου Λαμπτρ|έα καὶ στεφανῶσαι αὐτὸν χρυσῶι στεφάνωι κατὰ τὸν νόμον ἀ|ρετῆς ἕνεκα καὶ δικαιοσύνης ἧς ἔχων διατελεῖ περὶ τὴν Ἐρ|εχθῆιδα φυλήν· ἐπειδὴ δὲ συμβαίνει Ἀντισθένει θυγατέρα ε||ἶναι ἐπίκληρον ἐκ τῶν νόμων γεγενημένην, τοὺς ἐπιμελητὰ|ς τοὺς (ἀ)εὶ καθισταμένους κατ᾽ ἐνιαυτὸν ἐπιμελεῖσθαι Ἀριστομ|άχης τῆς Ἀντισθένου θυγατρὸς ἐάν τινος δέηται, ἐ[μ]φανίζοντ|ας τεῖ φυλεῖ ὅταν ἀγορὰν ποιῶσιν, ὅπως ἂν μη[δ᾽ ὑφ᾽ ἑ]νὸ[ς ἀδικῆτ]|αι· τὴν δ᾽ εὔνοιαν τὴν παρ᾽ ἑκά[σ]τ[ου τῶν φυλετῶν καὶ ἰδίαι καὶ κ]||οινῆι ὑπάρχειν τῆι θυγατ[ρὶ τῆι Ἀντισθένους Ἀριστομάχηι δ]|ιὰ τὴν τοῦ πατρὸς ἀ[νδραγαθίαν καὶ φιλοτιμίαν ἣν ἔχει περὶ τ]|ὴν Ἐρεχθ[ῆιδα φυλὴν – – –

11. Finanzen des attischen Demos Plotheia (anfang des 4. jahrh. v. Chr.)

Κεφά]λαια· | [Δη]μάρχωι Χ. | [Τα]μίαιν ἐς τὰ δι᾽ ἔτος ἱερά 𐅇. | [Ἐ]ς τὸ Ἡρακλεῖον 𐅇ΧΧ. || [Ἐ]ς Ἀφροδίσια ΧΗΗ. | [Ἐ]ς Ἀνάκια ΧΗΗ. | [Ἐ]ς τὴν ἀτέλειαν 𐅇. | [Ἐ]ς Ἀπολλώνια ΧΗ. | [Ἐ]ς Πάνδια 𐅅Η. || [Μ]ισθώσεων ΗΔΔΔ⊢⊢⊢IIC. |

[Ἔδ]οξεν Πλωθειεῦσι. Ἀριστότιμος [ε|ἶπ]ε· Τὸς μὲν ἄρχοντας τὸ ἀργυρίο ἀ[ξ|ιό]χρεως κυαμεύεν ὅσο ἑκάστη ἡ ἀ[ρχ|ὴ ἄ]ρχει, τούτος δὲ τὸ ἀργύριον σῶν [π||α]ρέχεν Πλωθεῦσι, περὶ μὲν ὅτο ἐστ[ὶ | ψ]ήφισμα δανεισμõ ἢ τόκος τεταγ[μέ|ν]ος κατὰ τὸ ψήφισμα δανείζοντ[ας κ|α]ὶ ἐσπράττοντας, ὅσον δὲ κατ᾽ ἐν[ιαυ|τ]ὸν δανείζεται δανείζοντας ὅ[στι||ς] ἂν πλεῖστον τόκον διδῶι ὃς ἂν [πεί|θ]ηι τὸς δανείξοντας ἄρχοντα[ς τιμ|ή]ματι ἢ ἐγγυητῆι. Ἀπὸ δὲ τõ τόκο [τε κ]|αὶ τῶμ μισθώσεων ἀντὶ ὅτο ἂν τ[ῶν κε|φ]αλαίων ὠνήματα ἧι μί[σ]θωσιν φ[έρο]||ντα

---

11. Marmorplatte im Louvre. Στοιχηδόν. CIG 82 (cf. p. 176 u. 897). IG II$_1$ 570. Michel 140, cf. p. 943. L. Ziehen, Leges Graec. Sacrae II$_1$ no. 9 vergleicht die urkunde mit der Skambonideninschrift IG I 2 (cf. Suppl.). Vgl. Sauppe, Rhein. Mus. 1849, 289. Urkunden attischer demen: IG II$_1$ 570 ff. II$_5$ p. 139 ff. Auswahl Michel 140 ff. Das ganze material bei v. Schoeffer, Pauly-Wissowa s. v. Δῆμοι u. Haussoullier, Artikel Demos bei Daremberg-Saglio, Dictionn. d. ant. II 76 ff. Vgl. auch no. 1 e. 15. 27 **1** κεφάλαια: summierte posten, nicht kapitalien. Dass die summen selbst für die angegebenen zwecke verwendet wurden, vertritt wieder v. Schoeffer, Pauly-Wissowa V$_1$ 19, anders Szanto, Unters. über das attische Bürgerrecht 38 und Haussoullier, Vie municipale en Attique 63 **7** cf. z. 28 ff. **14** ff. vgl. Szanto u. Hauss. p. 75: „Deux sortes de prêts. 1^0. Les conditions sont réglées par un décret (Beispiel no. 27$_{37}$). 2^0. Les conditions sont réglées par les magistrats eux-mêmes. τούτους = ἄρχοντας, wie z. 21 beweist, anders Hauss. **22** τόκο: der ausgeliehenen kapitalien **24** ὠνεῖσθαι wird mit τέλη, πεντηκοστήν etc. verbunden, daher κεφαλαίων ὠνήματα verpachtungen von irgendwelchen steuern oder gefällen. Die worte τῶν κεφαλαίων ὠνήματα μίσθωσιν φέροντα sind eine umschreibung

ϑύεν τὰ ἱερὰ τά τε ἐς Πλωϑει[ᾶς κ]|οινὰ καὶ τὰ ἐς Ἀϑηναίος ὑπὲρ Πλ[ωϑέ]||ων το͂ κοινο͂ καὶ τὰ ἐς τὰς πεντετ[ηρί]||δας· καὶ ἐς τἆλλα ἱερά, ὅποι ἂν δέ[ηι Π]|λωϑέας ἅπαντας τελε͂ν ἀργύριο[ν ἐς] || ἱερά, ἢ ἐς Πλωϑέας ἢ ἐς Ἐπακρέα[ς ἢ ἐς] | Ἀϑηναίος, ἐκ το͂ κοινο͂ τὸς ἄρχο[ντας] | οἳ ἂν ἄρχωσι το͂ ἀργυρίο το͂ ἐς τὴ[ν ἀτ|έ]λειαν τελε͂ν ὑπὲρ τῶν δημοτῶν· [καὶ | ἐ]ς τὰ ἱερὰ τὰ κοινὰ ἐν ὅσοισιν ἑσ[τι||ῶ]νται Πλωϑῆς οἶνον παρέχεν ἡδὺ[ν ἐ|κ το͂] κοινο͂, ἐς μὲν τἆλλα ἱερὰ μέχρ[ι | ἡμίχο ἐ]κάστωι τοῖς παρο͂σι Πλωϑέ[ω|ν, ἐς Διονύσια δὲ] διδασκάλωι κά[δον|*13*] ἀποκαίοντι κ[*4* || *16*] δημιοργ[*5* |

12. Aufzeichnung der κτοῖναι von Kamiros (4. oder 3. jahrh. v. Chr.)

Ἔδοξε Καμιρεῦσι τὰς κτοίνας τὰς Καμιρέων τὰς | ἐν τᾶι νάσωι καὶ τὰς ἐν τᾶι ἀπείρωι ἀναγράψαι πάσας | καὶ ἐχϑέμειν ἐς τὸ ἱερὸν τᾶς Ἀϑαναίας ἐστάλαι | λιϑίναι χωρὶς Χάλκης· ἐξῆμειν δὲ καὶ Χαλκήταις || ἀναγραφῆμειν αἴ κα χρηΐζωντι. ἑλέσϑαι δὲ ἄνδρας | τρεῖς αὐτίκα μάλα οἵτινες ἐπιμεληϑησεῦντι ταύ|τας τᾶς πράξιος ὡς τάχιστα καὶ ἀποδωσεῦνται | τῶι χρήιζοντι ἐλαχίστου παρασχεῖν τὰν στάλαν | καὶ τὰς κτοίνας ἀναγράψαι καὶ ἐγκολάψαι ἐν τᾶι στά||λαι καὶ στᾶσαι ἐν τῶι ἱερῶι τᾶς Ἀϑάνας καὶ περιβολιβῶ|σαι, ὡς ἔχηι ὡς ἰσχυρότατα καὶ κάλλιστα. τὰ δὲ τε|λεύμενα ἐς ταῦτα πάντα τὸν ταμίαν παρέχειν. | ἐγ δὲ ταυτᾶν τᾶν κτοινᾶν ἀποδεικνύειν τοὺς | κτοινάτας μάστρον ἐν τῶι ἱερῶι τῶι ἁγιωτάτωι || ἐν τᾶι κτοίναι κατὰ τὸν νόμον τὸν τῶν Ῥοδίων, | τοῦτοι δὲ συνλεγέσϑων ἐν Καμίρωι εἰς τὸ | ἱερὸν τᾶς Ἀϑαναίας ὅκκα τοὶ ἱεροποιοὶ παραγγ[έλ|λ]ωντι, καὶ ἀϑρεόντω τὰ ἱερὰ τὰ Καμιρέων [τὰ δα|μο]τελῆ πάντα, αἴ τι-----

13. Aufnahme verschiedener Bevölkerungsklassen in das pergamenische Bürgerrecht (133 v. Chr.)

Ἐπὶ ἱερέως Μενεστρά[του τ]οῦ Ἀπολλοδώρου, | μηνὸς Εὐμενείου ἐννε[ακαιδε]κάτηι· ἔδοξεν τῶι | δήμωι, γνώμη στρατηγ[ῶν·

---

des vorhergehenden τῶμ μισϑώσεων, der satz mit ἀντί steht epexegetisch zu diesem wort; anders Szanto u. Hauss. **12.** Gef. in den ruinen des Athenetempels zu Kamiros. IG XII_1 694. Syll 449. Michel 433. Zeit jedenfalls nach dem rhodischen synoikismos (404 v. Chr.). Ueber die κτοῖναι und überhaupt die einteilung der Rhodier van Gelder, Gesch. d. alten Rhodier (Haag 1900) p. 207 ff., besonders 222, vgl. auch den index IG XII_1 p. 229 Vgl. die phratrien in Athen nr. 9 **2** ἀπείρωι Rhodischer besitz auf dem gegenüberliegenden festland **10** = περιμολυβδῶσαι **18** ἀϑρεῖν circumspicere, providere **13.** Gef. im theater von Pergamon. Inschr. von Pergamon I 249 (cf. II Addenda p. 510). OGI 338 (bester text). Michel 518. U. Wilcken bei Pauly-Wissowa II_1 963 rückt die inschrift in den richtigen historischen zusammenhang. Die neubürgerlisten, die v. Prott, Ath. Mitt. 27, 106 ff. gefunden zu haben glaubte, hat

ἐπε]ὶ βασιλεὺς Ἄτταλος | Φιλομήτωρ καὶ Εὐεργέτη[ς μεθισ]τάμενος ἐξ ἀν||θρώπων ἀπολέλοιπεν τὴ[μ πατρί]δα ἡμῶν ἐλευθέραν, | προσορίσας αὐτῆι καὶ πολε[ιτικὴγ] χώραν ἣν ἔκριν[εν,] | δεῖ δὲ ἐπικυρωθῆναι τὴν διαθή[κην] ὑπὸ Ῥωμαίων, [ἀναγκαῖ]|όν τέ ἐστιν ἕνεκα τῆς κοινῆς ἀσ[φ]αλείας καὶ τ[ὰ ὑποτετα]|γμένα γένη μετέχειν τῆς πολιτε[ία]ς διὰ τὸ ἅπα[σαν εὔ]||νοιαμ προσενηνέχθαι πρὸς τὸν δῆ[μο]ν· ἀγαθῆ[ι τύχηι, δεδό]|χθαι τῶι δήμωι, δεδόσθαι πολιτείαν [τ]οῖς ὑπο[γεγραμμέ]|νοις· τοῖς ἀναφερομένοις ἐν ταῖς τῶ[ν] παρο[ίκων ἀπο]|γραφαῖς καὶ τῶν στρατιωτῶν τοῖς κα[το]ικοῦσιν [τὴμ πό]|λιγ καὶ τὴγ χώραν, ὁμοίως δὲ καὶ Μακεδό[σι]ν καὶ Μυ[σοῖς] || καὶ τοῖς ἀναφερομένοις ἐν τῶι φρουρίωι καὶ [τῆι πόλει τῆι] | ἀρχαίαι κατοίκοις καὶ Μασδυηνοῖς κα[ὶ *ca. 9—10*]|καὶ παραφυλακίταις καὶ τοῖς ἄλλοις ἐ[πικού]|ροις τοῖς κατοικοῦσιν ἢ ἐνεκτημένοις ἐν τ[ῆι πόλει] | ἢ τῆι χώραι, ὁμοίως δὲ καὶ γυναιξὶγ καὶ παισ[ίν]. || εἰς δὲ τοὺς παροίκους μετατεθῆναι τοὺς ἐκ [τῶν] | ἐξελευθέρων καὶ βασιλικοὺς τούς τε ἐνήλικα[ς] | καὶ τοὺς νεωτέρους, κατὰ τὰ αὐτὰ δὲ καὶ τὰς γυναῖ|κας πλὴν τῶν ἠγορασμένων ἐπὶ τοῦ Φιλαδέλφου | καὶ Φιλομήτορος βασιλέων καὶ τῶν ἀνειλημμένω(ν)|| ἐκ τῶν οὐσιῶν τῶν γεγενημένων βασιλικῶν, κατὰ τα[ὐ]|τὰ δὲ καὶ τοὺς δημοσίους. ὅσοι δ[ὲ] τῶν κατοικούν|των ἢ ὅσαι ἐγλελοίπασιν ὑπὸ τὸν καιρὸν τῆς (τελευτῆς) τοῦ βασίλεως | ἢ ἐγλίπωσιν τὴμ πόλιν ἢ τὴγ χώραν, εἶναι αὐτοὺς κα[ὶ] | αὐτὰς ἀτίμους τε καὶ τὰ ἑκατέρων ὑπάρχοντα τῆς || πόλεως. | τετράδι ἀπιόντος | [ἔδ]οξεν τῶι δήμωι, γνώμη στρατηγῶν· ἐπεὶ [ἐν τῶι γε|νομένω]ι ψηφίσματι περ[ὶ] τοῦ δοθῆναι πολιτεί[αν τοῖς | ἀναφερομένοις ἐ]ν ταῖς τῶ[μ] παρ[ο]ίκων ἀπογραφαῖς [καὶ || τοῖς λοιποῖς γένεσιν τ]οῖς δηλουμένοις ἐν τῶι ψηφ[ί]σ[μα|τι καὶ περὶ τοῦ μετατεθῆναι εἰς τοὺς] παροίκους τοὺς [ἐκ | τῶν ἐξελευθέρων καὶ βασιλικοὺς κα]ὶ [δ]ημοσίους | - - - - -

14. Weihinschrift des athenischen Rates und Ehrung des Ratsherrn Phanodemos (343/2 v. Chr.)

Ἡ βουλὴ ἡ ἐπὶ Πυθοδότου [ἄρχοντος] | Ἡφαίστωι, στεφανωθεῖσ[α ὑπὸ] (τ)οῦ δήμου | ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης.

Kolbe ibd. 32, 415 als ephebenkataloge nachgewiesen. Aehnliche massregeln der Ephesier in der not des mithridatischen krieges Syll 329 = Michel 496 z. 41ff. Verschiedene bevölkerungsklassen auch in der inschrift von Olymos (Karien) Michel 476, cf. auch no. 42 **4** Attalos III (138—133 v. Chr.) **5** die stellen der schriftsteller bei Pauly-Wissowa II_2 2176 **14** Μακεδόνες Μυσοί söldner (cf. den vertrag des Eumenes I mit seinen söldnern OGI 266 = Michel 15), ebenso die aus dem paphlagonischen Μασδύη (cf. Plin. N. Hist. VI 5) **17** παραφυλακίται gendarmen Fränkel **21** königliche sklaven **23** Attalos II 159—138 v. Chr. **24** ἀναλαμβάνειν konfiszieren Laert. Diog. VII 181. Plutarch p. 484 A **14.** Gef. in Athen. IG II_1 114. Syll 495. Michel

Δεινόστρατος Δεινιάδου Ἀγκυλῆθεν εἶπεν· ἐπειδὴ ἡ βουλὴ ἡ ἐπὶ Πυθοδότου ἄρχοντος, ψηφισαμένη κρίσιν ποιῆσαι τῶν λεγόντων ἐν τεῖ βουλῆι ἐπὶ τῆς ἐνάτης πρυ[τα]||νείας καὶ τιμῆσαι ὃς ἂν δοκεῖ αὐτεῖ ἄριστα λέγων καὶ πράττων καὶ ἀδωροδοκήτως ὑπὲρ τῆς βουλῆς καὶ τοῦ δήμου τοῦ Ἀθηναίων διατετελεκέναι τὸν ἐνιαυτόν, ἔκρινεν διαχειροτο[νή]|σασα περὶ τούτων ἡ βουλὴ Φανόδημον Διύλλου Θυμαιτάδην, δεδόχθαι τῆι βουλῆι, ἀγαθῆι τύχηι τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῆς βουλῆς ἐπαινέσαι Φανόδημον Διύλλου Θυμαιτά[δην] | ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης τῆς εἰς τὴν βουλὴν καὶ τὸν δῆμον τὸν Ἀθηναίων, καὶ στεφανῶσαι αὐτὸν χρυσῶι στεφάνωι ἀπὸ : 𐅅 : δραχμῶν, τὸ δὲ ἀργύριον εἶναι τὸ εἰς τὸν [στέ]|φανον ἐκ τῶν εἰς τὰ κατὰ ψηφίσματα ἀναλισκομένων τεῖ βουλεῖ. ἀναγ[ρ]άψαι δὲ καὶ ἐπὶ τὸ ἀνάθημα τῆς βουλῆς τόδε τὸ ψήφισμα τοὺς αἱρεθέντας ποήσασθαι τὸ ἀνάθημα. ὅπως δ' ἂν καὶ ὁ | δῆμος εἰδὼς τὰ ἐψηφισμένα τῆι βουλῆι περὶ Φανοδήμου τιμήσει καὶ αὐτὸς [κ]αὶ στεφανώσει, ἐὰν δοκεῖ τῶι δήμωι καθάπερ τῆι βουλῆι, τοὺς προέδρους οἳ ἂν λάχωσιν προεδρεύειν ἐν || τῶι δήμωι εἰς τὴν πρώτην ἐκκλησίαν χρηματίσαι περὶ Φανοδήμου, καὶ ἀνα[γνῶ]ναι τόδε τὸ ψήφισμα τὸγ γραμματέα τῶι δήμωι, γνώμην δὲ ξυνβάλλεσθαι τῆς βουλῆς εἰς τὸν δ[ῆ]|μον, ὅτι δοκεῖ τῆι βουλῆι, ἐπειδὴ Φανόδημος Διύλλου Θυμαιτάδης καλ[ῶς κ]αὶ φ[ι]λοτίμως καὶ ἀδωροδοκήτως βεβούλευκεν, λέγων καὶ πράττων τὰ ἄριστα ὑπὲρ τῆς βουλῆς καὶ | τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων, ἐπαινέσαι αὐτὸν ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης τῆς εἰς τὴν βουλὴν καὶ τὸν δῆμον τὸν Ἀθηναίων [καὶ τοὺς συμμ]άχους, καὶ στεφαν[ῶ]|σαι χρυσῶι στεφάνωι ἀπὸ : Χ : δραχμῶν ἐπειδὰν τὰς εὐθύνας δῶι· τὸ δὲ ἀργύριον εἶναι τὸ εἰς τὸν στέφανον ὁπόθεν ἂν τῶι δήμωι δοκεῖ. ὅπως ἂν [οὖν καὶ οἱ ἄλλοι ἅπαν]τες εἰδῶσι ὅ[τι] | ὁ δῆμος καὶ ἡ βουλὴ ἐπίσταται χάριτας ἀποδιδόναι τοῖς ἀεὶ λέγουσιν καὶ πράττου[σιν τὰ ἄριστ]α ὑπὲρ τῆς βουλῆς καὶ τοῦ δήμου, [ἀναγράψαι τόδε τὸ ψήφισ]μα τὸν γραμ[μα||τέα]

100. Roberts II 38. Cf. Musée Belge 3, 265. Viereckige basis eines vom rate errichteten Hephaistosbildes, von der 3 seiten *a b c* beschrieben sind. No. 14 auf *a*, ausserdem liess der rat auf *b* seinen beschluss (von Phanodemos beantragt), dem Hephaistos und der Athene Hephaistia standbilder zu errichten, aufzeichnen, ferner den den rat auszeichnenden volksbeschluss und einen ratsbeschluss zu ehren des ratsherrn Eudoxos, ein zweiter beschluss für denselben auf *c*. Ueber ehrungen durch das athenische volk im allgemeinen s. IG II$_5$ 385 b (p. 100). Athenische volks- u. ratsbeschlüsse nr. 54 **2** στεφανωθεῖσα für ausrichtung der grossen Dionysien 343/2 **4** Δεινόστρατος Kirchner, Prosopogr. Attica II p. 452 no. 3191 **6** der Attidograph s. Kirchner, Prosopogr. Attica II no. 14033 **6** ff. beschluss des rates **8** ff. probuleum des rates

τὸν κατὰ πρυτανείαν ἐν στήλῃι λι[θίνῃ]ι καὶ στῆσαι ἐν ἀκροπόλει, εἰς δὲ τὴν ἀνα[γραφὴν τῆς στ]ήλης δοῦναι τὸν ταμίαν τοῦ δήμου Δ[-- δραχμὰς ἐκ τῶν κατὰ ψηφί]σματα | [ἀναλισκομ]ένων [τῶι δήμωι].

15. Ehrung der Prytanen der Aigeis (341/0 v. Chr.)

A

Α ἰ γ η ΐ δ ο ς π ρ υ τ ά ν ε ι ς ἀ ν έ θ ε σ α ν ο ἱ ἐ π ὶ Ν ι κ ο μ ά χ ο υ ἄ ρ χ ο ν τ [ο ς] | σ τ ε φ α ν ω θ έ ν τ ε ς ὑ π ὸ τ ῆ ς β ο υ λ ῆ ς κ α ὶ τ ο ῦ δ ή μ ο υ ἀ ρ ε τ ῆ ς ἕ ν ε κ [α] | κ α ὶ δ ι κ α ι ο σ ύ ν η ς. — |

I. Ἐ ρ χ ι ε ῖ ς· || Θαρρίας Θαρριάδου | Κυδίας Λυσικράτους | Χαιρέας Παραμύθου | [Φ]ύλαρχος Παραμύθου | Ξενο[κ]λ[έη]ς Καλλιάδου || Πολυκλείδ[η]ς Καλλιστράτου. | Γ α[ρ γ] ή τ τ ι ο ι· | Διόδωρος Φιλοκλέους | Μειξίας Ἡγησίου | Σμικρίας Φιλοκήδους || Ἀρ[ε]σίας Παυσίου. | Φ ι λ α ΐ δ α ι· | Διονύσιος Ἡφαιστίωνος | Εὐθυκλῆς Ἀμεινίου. | Εὐθύδικος Ἀμεινίου. || [Κ] υ δ α ν τ ί δ α ι· | Πυθίων Αἰσχρωνίδου | Δημόστρατος [Δ]ημοστ[ρά]του. | Ἰ ω ν ί δ α ι· | [Μ]ηλιεὺς Ἰλ[ι]ονέως. ||

II. Ἰ κ α ρ ι ε ῖ ς· || Τιμόκριτος Τιμοκράτους | Ἀριστοφάνης Εὐκλείδου | Ἀρχεναύτης Ἀρχεναύτου | Ἐράτων Ἐρατίωνος | [Ἀ]ρίγνωτος Βαβυρίου. || Ἑ σ τ ι α ι ε̃ ς· | Ποσείδιππος Καλλικράτους. | Β α τ ε ῖ ς· | Λυσίστρατος Πολυεύκτου— | Ἐ κ Κ ο λ ω ν ο ῦ· || Καλλιφάνης Καλλικλέους | Θεάγης.— | Κ ο λ λ υ τ ε ί ε ς· | Χαιρεφῶν Θράσωνος | Ἄλεξις Σωσιάδου || Φερεκράτης Φιλοκράτους. | Π λ ω θ ε ῖ ς· | Χαιρίας Χαιρίου. | Ὀ τ ρ υ ν ε̃ ς· | Φιλῖνος Θεοδώρου || Ἐ ρ ι κ ε ε ῖ ς· | Ἐπαμείνων Ἐπαινέτου.

III. Ἁ λ α ι ε ῖ ς· || Λυσιμαχίδης Λυσιπόλιδος | Εὔβιος Αὐτοσθένους | Ἀπολλόδωρος Ἀρχίου | Εὐνοστίδης Θεοφάντου | Καλλιμήδης Ἀρχεμάχου. || Τ ε ι θ ρ ά σ ι ο ι· | Δημοσθένης Δημοφῶντο[ς] | Δημόφιλος Δημοκλείος | Κα[λ]λίστρατος— | Προκλείδης Προξενίδου. || Φ η γ α ι ε ῖ ς· | Ἀκήρατος Ἀρχεδήμου | Θεόμνηστος — | Θεόδωρος Θεόγνιδος. | Ἀ ρ α φ ή ν ι ο ι· || Ἐλπῖνος Σωσιγένους | Καλλίμαχος Μνησιθείου. | Ἐ γ Μ υ ρ ρ ι ν ο ύ τ τ η ς· | Θεόφιλος. — | Ἀ γ κ υ λ ῆ θ ε ν· || Εὔβιος Εὐβιότου. | Δ ι ο μ ε ι ε ῖ ς· | Δωρόθεος Θεοδώρου | Ἀ γ κ υ λ ῆ θ ε ν· | Μελήσιππος Μελησίου. ||

---

15. Gef. in Athen. IG II_2 872. Syll 496. Michel 648. Roberts II 149. Viereckige basis, davon 3 seiten (*ABC*) beschrieben. Die liste der prytanen ist in 3 neben einander stehenden Kolumnen angeordnet (*I II III*). Cf. U. Koehler, Ath. Mitt. 7, 102 (besonders über die συλλογὴ τοῦ δήμου *B* z. 2). Musée Belge 3, 266. Athenische archonten- und prytanenlisten: IG II_2 857 ff. II_5 p. 210 ff. Michel 645—649. Suppl. 1526, cf. 1483. 1491. Ratsherrenliste Michel Suppl. 1525. Beschlüsse dieser art gesammelt von A. Wilhelm, Ath. Mitt. 21, 435 u. Urkunden dramat. Aufführg. 211; dazu Philologus 1909, 572

[Θ]αρρίας Ἐρχιεὺς εἶπεν· Ἐψηφίσθαι τοῖς φυλέταις· ἐπειδὴ Ποσείδιππος Ἑστιαιόθεν ὁ ταμίας | [τῆ]ς φυλῆς καλῶς [κ]α[ὶ δικαί]ως ἐταμίευσε [τοῖς φ]υλέτ[αις], καὶ τὰ ἱερὰ ἀπέθυσε ὑπὲρ τῶν πρυτάνε[ων], | ὅσα ἔδει τυθῆναι, ἐπαιν[έσαι αὐ]τὸν ἀ[ρετῆ]ς ἕνεκ[α καὶ δι]καιοσύνης τῆς περὶ τοὺς πρυτάνες | [καὶ στε]φα[νῶ]σαι θα[λλοῦ στ]ε[φ]άν[ω]ι.

B

Ἀριστοφάνης Ἰκαριεὺς εἶπεν· Ἐψηφίσθ[αι τ]οῖς φυ[λέ]ταις ἐπαινέσαι, ἐπειδὴ καλῶς κ[αὶ δι]καίω[ς] | ἐπεμελήθησαν τῆς συλλογῆς τοῦ δήμου καὶ τῆς [δι]αδόσε[ω]ς τῶν συνβόλων καὶ ἐπόησαν τὴν δωρει[ὰν] | τοῖς φυλέταις, ἐπαινέσαι αὐτοὺς ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης τῆς εἰς τοὺς φυλέτας, καὶ στεφανῶσαι | αὐτῶν ἕκαστον θαλλοῦ στεφάνωι ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης τῆς εἰς τὴν φυλήν· — || Διόδωρον Φιλοκλέος Γαργήττιον, Τιμόκριτον Τιμοκράτου Ἰκαριέα, Θαρρίαν Θαρριάδου Ἐρχιέα. |

Θαρρίας Ἐρχιεὺς εἶπεν· Ἐπαινέσαι τοὺς ἱεροποιοὺς τοὺς τὰ μυστήρια ἱεροποιήσαντας Ἐλευσῖν[ι] | καὶ στεφανῶσαι αὐτῶν ἕκαστον θαλλοῦ στεφάνωι ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης τῆς εἰς τοὺ[ς] | φυλέτας· Ποσείδιππον Ἑστιαιόθεν, Τιμόκριτον Ἰκαριᾶ, Ἀριστοφάνην Ἰκαριέα, Χαιρίαν Πλωθειᾶ, | Καλλίστρατον Τειθράσιον, Πυθίωνα Κυδαντίδην, Εὔβιον Ἀγκυλῆθεν, Θεόμνηστον Φηγ||αιέα, Θεόφιλον ἐγ Μυρρινούττης, Μηλιέα Ἰωνίδην. — |

Ὁ δῆμος   Ἡ βουλή

C

[Διόδωρος Γ]αργήττιος εἶπεν· Ἐπαινέσαι Ἀριστο[φ]άνην Εὐκλείδ[ου] Ἰκαριέα δ[ικαιοσύ|ν]ης ἕνεκ[α] τῆς εἰς τὴν Α[ἰ]γεῖδα φυλήν, καὶ στεφανῶσαι αὐτὸν θαλλοῦ στεφάνωι.

16. Weihinschrift dreier athenischer Strategen (95/4 v. Chr.)

[Στ]ρατηγοὶ οἱ ἐπὶ τὸν Πειραιᾶ ἐπὶ Ἡ|ρακλείτου ἄρχοντος στεφανωθέντες | ὑπὸ τῆς βουλῆς καὶ τοῦ δήμου Εὐπόλεμος | Ζωΐλου Παιανιεύς, Ζήνων Μενίσκου || Ἐρχιεύς, Ἀρισταγόρας Τρωΐλου Πειραιεὺς | Ἑρμεῖ Ἡγεμονίωι ἀνέθηκαν.

B 1 der satzbau ist infolge unsorgfältigen einmeisselns gestört 2 σύμβολα marken, die zum empfang des μισθὸς ἐκκλησιαστικός berechtigten, zu δωρειάν cf. *A* z. 2 **16.** Gef. im Piräus. IG II_3 1207. Syll 497. Michel 1027. Roberts II 210. Besonders instruktiv für die strategen no. 47 dieses heftes, einen bequemen überblick über deren geschäftskreis gibt der index IG II_4 p. 83. II_5 p. 335 s. v. στρατηγός 1 bei Aristot. Ἀθ. πολ. 61, 1 zwei στ. ἐπὶ τὸν Π. 6 cf. Aristophan. Plut. 1159

17. Ehrendekret von Astypalaia für einen Agoranomen
(wohl 2. jahrh. v. Chr.)

